# 24 IANUARIE

# SLUJBA SF.CUVIOASE XENIA GRIGORIEVNA DE LA ST.PETERSBURG

# MINEIUL-GR


·СТ· БЛЖЕННАѦ·
ѮЕНІѦ
ПЕТЕРБУРГСКАѦ

# 24 ΙΑΝΟΥΑΡΙΟΣ ΞΕΝΗ ΟΣΙΑ ΣΑΛΛΗ ΡΩΣΣΙΔΑ ΑΚΟΛΟΥΘΙΑ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τρωθεῖσα ἀγάπῃ τοῦ Χριστοῦ, Ξένη παναοίδιμε, τῶν γεηρῶν ἀπεξένωσας, νοΐ θεόφρονι, σεαυτὴν Ὁσία, καὶ ἐν μέσῳ ἔζησας, τοῦ κόσμου πολιτείαν ἰσάγγελον, μωρίαν ἔμφρονα, ὑπελθοῦσα δι’ ἧς ᾔσχυνας, τοῦ βελίαρ πάντα τὰ βουλεύματα.

Συζύγου τὴν στέρησιν σεμνή, ἀνδρικῶς ἐνέγκασα, ὅλην σαύτὴν καθιέρωσας, ἀσχέτῳ ἔρωτι, Χριστῷ τῷ Σωτῆρι, Ξένη παμμακάριστε, καὶ ἔλαθες τοὺς πάντας βιώσασα, βίον ἐνάρετον, ἐν μωραῖς ταῖς προσποιήσεσι, κατὰ Παῦλον τὸν μέγαν Ἀπόστολον.

Νεκρώσασα Μῆτερ τῆς σαρκός, πάντα τὰ κινήματα, ἀσκητικοῖς ἀγωνίσμασι, τοῦ θείου Πνεύματος, τὴν ζωοποιοῦσαν, εἴληφας ἐνέργειαν, δι’ ἧς σαφῶς τὰ πόῤῥω προέλεγες, καὶ

προσποιήσεσι, ταῖς μωραῖς Ξένη ἀπέκρυπτες, τῶν θαυμάτων ἣν ἔλαβες δύναμιν.

Δοξάζων Ὁσία ὁ Χριστός, τὸν ἅγιον βίον σου, πηγὴν θαυμάτων τὸν τάφον σου, Ξένη ἀνέδειξεν, ᾧ οἱ προσιόντες, καὶ πιστῶς προσπίπτοντες, λαμβάνουσι ποικίλα ἰάματα, τῇ μεσιτείᾳ σου, καὶ κινδύνων ἀπαλλάττονται, ἀνυμνοῦντες τὸν σὲ θαυμαστώσαντα.

*Δόξα. Ἦχος β΄.*

Τῇ ἐναρέτῳ ζωῇ, ὁσίως καὶ σωφρόνως Χριστῷ λατρεύσασα, ὡς θυσίαν εὐπρόσδεκτον Αὐτῷ προσήγαγες, τοῦ σοῦ βίου τὰς πράξεις, Ξένη θεόληπτε. Καὶ ἐν σοφίᾳ φρενῶν, καὶ μωρίᾳ πλασματικῇ, τοῦ δολίου ἐχθροῦ, νουνεχῶς περιεγένου. Διὸ Χριστὸς ὁ Σωτήρ, ὁ τῶν κρυπτῶν γνώστης καὶ Θεός, ἀξίως σὲ ἐδόξασε, καὶ παρέχει διὰ σοῦ ἡμῖν τὸ θεῖον ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἄνθος ὡς νοητόν, ἐκ τῆς Ῥωσίας ἔφυς, ὦ Ξένη θεοφόρε, καὶ κόσμῳ διαπνέεις, ὀσμὴν τὴν ὑπερκόσμιον.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ξένη τῶν ἐπὶ γῆς, ἠδέων φερωνύμως, ἐδείχθης Μῆτερ Ξένη, καὶ ξενοτρόπῳ βίῳ, Κυρίῳ εὐηρέστησας.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Τάφος σου ὁ σεπτός, ἐπισκιάσει θείᾳ, ὡς ἄλλον ἰατρεῖον, ἰᾶται μακαρία, τοὺς εὐλαβῶς προστρέχοντας.

*Δόξα. Τριαδικόν.*

Ἔχουσα ὦ Τριάς, τὴν θείαν δύναμίν Σου, ἡ θεοφόρος Ξένη, ὥσπερ γυνὴ ἀνδρεία, τὰς ἀρετὰς κατώρθωσε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ξένη ἡ θαυμαστή, Παρθένε Θεοτόκε, τῷ πόθῳ τοῦ Υἱοῦ Σου, ἔξηχον ἐν τῷ κόσμῳ, ζωὴν ἐπολιτεύσατο.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λογον.*

Ξενοτρόπως ἐν κόσμῳ Ξένη βιώσασα, τὸν σοφιστὴν τῆς κακίας κατεσοφίσω στεῤῥῶς, προσποιήσεσι μωραῖς νοὶ θεόφρονι, ὅθεν τὰ πόῤῥῳ προορᾶν, καὶ προλέγειν ἐμφανῶς, ἐδέξω χάριν θεόθεν, καὶ μεταστᾶσα τῶν τῇδε, χοροῖς Ἁγίων συνηρίθμησαι.

*Δόξα... Καὶ νῦν ... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε

ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς Ῥωσίας τὸ βλάστημα, τῶν Ὁσίων τὴν σύναθλον, Ξένην τὴν θεόφρονα μακαρίσωμεν, ἐν μέσῳ κόσμου γὰρ ἤνυσε, ζωὴν τὴν ἰσάγγελον, ἐν μωρίᾳ τῇ πλαστῇ, καὶ τὸν δόλιον δράκοντα, κατεπάτησε, καὶ θαυμάτων δυνάμει δοξασθεῖσα, ἱκετεύει ὑπὲρ πάντων, ἡμῶν τὸν μόνον φιλάνθρωπον.

Τοῦ συνεύνου τὴν στέρησιν, νουνεχῶς ὑπομείνασα, ὁλικῶς ἀνέθηκας τῷ Κυρίῳ σου, πάντα τὰ σὰ Ξένη πάνσεμνε, καὶ ξένην προέκρινας, φερωνύμως βιοτήν, ἐν μωραῖς προσποιήσεσι, θείῳ ἔρωτι, διανῦσαι δι’ ἧς ὑπερκοσμίων, ἠξιώθης χαρισμάτων, οἷα Κυρίου θεράπαινα.

Τὴν προσοῦσάν σοι ὕπαρξιν, καὶ τὸν πλοῦτον τὸν πρόσκαιρον, εὐσεβῶς σκορπίσασα Ξένη ἔνδοξε,

εἴλου βαδίσαι τοῖς ἴχνεσι, Χριστοῦ τοῦ παντάνακτος, ἐν πτωχείᾳ ἀληθεῖ, καὶ πενίᾳ καὶ δάκρυσι, ὑποκρύπτουσα, τῇ μωρίᾳ τοῦ βίου σου τὸν πλοῦτον, καὶ τοῦ Πνεύματος τὴν χάριν, ἣν οὐρανόθεν ἀπείληφας.

Ἐθελούσιον στένωσιν, καὶ μωρίαν ἐπίπλαστον, ἐν σοφίᾳ κρείττονι ἐπεπόθησας, καὶ περιήρχου ὡς ἔξηχος, καὶ ξένη καὶ πάροικος, Πετρουπόλεως σεμνή, τὰς ὁδοὺς περιπαίζουσα, καὶ αἰσχύνουσα, τοῦ δολίου ἐχθροῦ τὰς πανουργίας, τοῖς ἐχέφροσι δὲ χάριν, Ξένη θεόφρον παρέχουσα.

Γυναικείῳ ἐν σώματι, ἀνδρικὰ ἀγωνίσματα, Ξένη παναοίδιμε διανύουσα, λαθεῖν τοὺς πάντας ἐσπούδαζες, τοῖς τρόποις σου πάνσεμνε, ἀλλ᾽ ὁ βλέπων τὰ κρυπτά, θαυμαστῶς σε ἐδόξαζε, ξένοις θαύμασι, τὰ γὰρ μέλλοντα Μῆτερ προετύπους, καὶ τὰ πόῤῥω προεδήλους, αἰνιγματώδεσι λόγοις σου.

Τὸ τοῦ βίου σου στάδιον, ἐκτελέσασα πάνσεμνε, χαίρουσα ἀνέδραμες πρὸς οὐράνια, τοῦ Παρακλήτου ἡ χάρις δέ, τὸν τάφον σου ἔδειξεν, ἰατρεῖον νοητόν, οἱ γὰρ πίστει προστρέχοντες, θεραπεύονται, νοσημάτων ποικίλων καὶ κινδύνων, παραδόξως ἐκλυτροῦνται, τὰ σὰ κηρύττοντες θαύματα.

*Δόξα. Ἦχος δ΄.*

Ἀνακειμένη τῷ Χριστῷ, ξενοτρόπως Αὐτῷ εὐηρέστησας, τῇ ἐπιπλάστῳ μωρίᾳ, Ξένη Μῆτερ Ὁσία. Οὐκ ἐφείσω γὰρ ἀσθενείας σώματος, οὐδὲ τὴν

βίαν τῆς φύσεως ἔπτηξας, ἀλλ' ἀνδρείῳ φρονήματι, πρὸς τὸν ἀγῶνα τὸν μέγαν ἀπεδύσω. Τὸ γὰρ πῦρ τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐν σοὶ περιφέρουσα, ὡς ἀδάμας στεῤῥός, τὰς κακουχίας ἤνεγκας, καὶ πάντων περιεγένου, ἐν τῇ ἀηττήτῳ δυνάμει τῆς πίστεως· ὅθεν ἀξίως ἐδοξάσθης τῇ ἄνωθεν χορηγίᾳ, καὶ πᾶσι παρέχεις ἰάματα ψυχῆς τε καὶ σώματος, πρεσβεύουσα Κυρίῳ ὑπὲρ τῶν πόθῳ τελούντων, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ διὰ σὲ Θεοπάτωρ προφήτης Δαυῒδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 4, 7-15)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ

ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν

Κύριος είς τούς αίῶνας, οἱ πεποιθότες έπ' αύτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ έν ἀγάπῃ προσμενοῦσιν αύτῷ, ὅτι χάρις καὶ ἔλεος έν τοῖς ὁσίοις αύτοῦ, καὶ έπισκοπὴ έν τοῖς έκλεκτοῖς αύτοῦ.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (λα΄ 10, 13-18, 20, 25).*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ έστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, έποίησεν εὔχρηστον ταῖς χερσὶν αύτῆς. Ἐγένετο ὡσεὶ ναῦς έμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται έκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον έπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αύτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ίσχυρῶς τὴν όσφὺν αύτῆς, ἤρεισε τοὺς βραχίονας αύτῆς είς ἔργον. Ἐγεύσατο ὅτι καλόν έστι τὸ έργάζεσθαι, καὶ ούκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αύτῆς. Χεῖρας δὲ αύτῆς διήνοιξε πένητι, καρπὸν δὲ έξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εύπρέπειαν ένεδύσατο, καὶ εύφράνθη έν ἡμέραις έσχάταις.

*Λιτή. Ἦχος α΄.*

Τὴν έν Ἁγίοις Ὁσίαν Μητέρα, τὴν ἀμέμπτῳ βίῳ Χριστῷ δουλεύσασαν, Ξένην τὴν θεόφρονα, μελῳδικῶς εύφημήσωμεν. Φερωνύμως γὰρ ξενωθεῖσα τῶν γεηρῶν, τοῖς ἀϊδίοις ῴκειώθη, τῇ ξενοτρόπῳ βιώσει. Τὸν γὰρ ξένον δι' ἡμᾶς

γενόμενον Κύριον, ὁλοτρόπως ἀγαπήσασα, τὸν ζυγὸν Αὐτοῦ ἤρατο καὶ τῆς σαρκὶς πρόνοιαν, οὐδόλως ἐπεδείξατο. Καὶ ἀξίως δοξασθεῖσα, τῆς ἄνω ξενίας ἠξίωται, καὶ πρεσβεύει τῷ Σωτῆρι, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Τὴν ἐν σαρκὶ πολιτείαν σου πάνσεμνε, Ἄγγελοι ἠγάσθησαν, καὶ δαίμονες ἔπτηξαν, ὅτι ὡς ἄσαρκος ἐν σαρκί, ὑπερφυεῖς ἠγωνίσω ἀγῶνας, οἰκείας φύσεως ἀλογήσασα, καὶ ὡς ξένη καὶ πάροικος, ἐν ἐπιπλάστῳ σαλότητι, ἐν γῇ ἐπολιτεύσω. Τὰ γὰρ ἄνω σκοποῦσα θεολήπτῳ ψυχῇ, ἐν κόποις καὶ μόχθοις, ἑκουσίως καὶ νηστείαις, καὶ παννύχοις στάσεσι, τὸ σῶμα ὑπεπίεζες. Διὸ ἐπανεπαύσατο ἐν σοί, τὸ Πνεῦμα τὸ Ἅγιον, Ξένη θεοδόξαστε.

*Ἦχος γ΄.*

Ἀποθεμένη τὰ ἐπίγεια, πρὸς τὸν σκοπὸν τῆς ἄνω κλήσεως, τὸν σὸν κατεύθυνας βίον, Ξένη ἀειμακάριστε. Καὶ ἐν φρονήσει τελείᾳ, καὶ ψυχικῇ ἀνδρείᾳ, ὑπεκρίνου μωρίαν, ὡς ἂν τὸν σοφιστὴν τῆς κακίας ὑποσκελίσῃς, καὶ τῆς κεκρυμμένης ἐν Χριστῷ σοφίας, ἴδῃς τὰ ἀγαθά, τοῖς καθαροῖς τῆς καρδίας ὄμμασι. Καὶ νῦν τοῦ πόθου τυχοῦσα, πρέσβευε δεόμεθα, τυχεῖν καὶ ἡμᾶς, τῆς θείας μακαριότητος.

*Ἦχος δ΄.*

Ἐρηρεισμένη ἀκλινῶς, ὑπομονῆς ἐν τῇ πέτρᾳ, ἀπτότος ἔστης ἐν τῷ ἀγῶνι τῆς ἀρετῆς, Ξένη Ὁσία

μακαρία. Καὶ καλῶς ἀγωνιζομένη, τοῦ μὲν ἐχθροῦ καθεῖλες τὴν ὀφρύν, τὸν δὲ νοῦν ἀνεπιθόλων ἐτήρησας, καὶ ἀτάραχον Μῆτερ, ἐν ταῖς τοῦ κόσμου συγχύσεσιν, ὑπερκοσμίοις γὰρ ἐννοίαις αὐτὸν ἐτείχισας, Χριστοῦ τὸ κάλλος συνορῶσα, καὶ Αὐτοῦ τυχεῖν ἐφιεμένη. Οὗ νῦν ἀπολαύουσα, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα. Ἦχος πλ. β΄.*

Τῇ φερωνύμῳ σου κλήσει, κατάλληλον ζωὴν ἐπεδείξω, οὐρανόφρονι νοΐ, Ξένη θεόπνευστε, ὡς γὰρ ξένη καὶ πάροικος πεπολίτευσαι, ξενωθεῖσα τῶν ῥεόντων, καὶ τῆς ἀπαθείας τὴν στολὴν ἠμφιάσω, ἐν τῇ ἀπαρνήσει τῶν φθειρομένων, ὁ γὰρ νυμφίος Χριστὸς ἐνεδυνάμου σε, καὶ ἐν τῇ προσποιητῇ μωρίᾳ, σοφωτάτοις πράξεσιν, ἐβεβαίους τοὺς πιστούς. Διὸ νομίμως ἀθλήσασα, οὐρανίων ἀμοιβῶν ἔτυχες, καὶ πρεσβεύεις Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Είς τὸν Στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε, τὴν ἐπίπλαστον σεμνή, περιεποιήσω μωρίαν, τῇ ἀγαπήσει Χριστοῦ, τότε ὥσπερ ἔξηχος εἵλου διέρχεσθαι, τὰς ἡμέρας τοῦ βίου σου, εὐχαῖς καὶ νηστείαις, Ξένη θεραπεύουσα, Χριστὸν τὸν Κύριον· ὅθεν, τῆς Αὐτοῦ Βασιλείας, μετὰ τὸ σὸν ἅγιον τέλος, μέτοχος ἐγένου ἀξιάγαστε.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ὅτε, διεσκόρπισας τὸν σόν, πλοῦτον νουνεχῶς πειθομένη, Χριστοῦ τοῖς ῥήμασι, τότε Μῆτερ ἔκρινας βίον ξενότροπον, ἐν νηστείαις καὶ δάκρυσι, ἐν ὁδοῖς καὶ ῥύμαις, ταῖς τῆς Πετρουπόλεως, τελέσαι θείᾳ στοργῇ, ὅνπερ, ὡς θυμίαμα θεῖον, ὁ Χριστὸς δεξάμενος δόξης, τῆς ὑπερκοσμίου σε ἠξίωσε.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Χάρις, ἡ τοῦ Πνεύματος σεμνή, ἐν τῇ καθαρᾷ σου καρδίᾳ, κατασκηνώσασα, θείας ἐνεργείας σε, δοχεῖον ἔδειξεν, καὶ τὸν ἅγιον τάφον σου, πηγὴν ἰαμάτων, ἀληθῶς εἰργάσατο, μετὰ τὸ τέλος σου, νόσους γὰρ ἰᾶται παντοίας, καὶ κινδύνων Ξένη λυτροῦται, τοὺς εἰλικρινῶς αὐτῷ προστρέχοντας.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸ τῆς φύσεως ἀσθενές, τῇ τοῦ Χριστοῦ ἀγάπῃ στομώσασα, ὑπερφυεῖς πόνους διήνυσας, ἐν μέσῳ κόσμου, Ξένη θεόληπτε. Καθαρῷ γὰρ νοΐ,

ἐκδημοῦσα Χριστῷ, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, ταῖς ἐναντίαις ἀντικαθισταμένη δυνάμεσι. Καὶ ἐν μωρίᾳ πλαστῇ, τὸν τῆς κακίας καταπαλαίσασα ἀρχηγόν, τὸ βραβεῖον τῆς νίκης ἐκομίσω, παρὰ τοῦ πάντων Βασιλέως καὶ Σωτῆρος, τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λογον.*

Ξενοτρόπως ἐν κόσμῳ Ξένη βιώσασα, τὸν σοφιστὴν τῆς κακίας κατεσοφίσω στεῤῥῶς, προσποιήσεσι μωραῖς νοὶ θεόφρονι, ὅθεν τὰ πόῤῥῳ προορᾶν, καὶ προλέγειν ἐμφανῶς, ἐδέξω χάριν θεόθεν, καὶ μεταστᾶσα τῶν τῇδε, χοροῖς Ἁγίων συνηρίθμησαι.

*Δόξα... Καὶ νῦν ... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ

ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν βίον σου σεμνή, καθαρὸν ὡς θυσίαν, προσήγαγες Χριστῷ, διανοίᾳ εὐθείᾳ, ἐντεῦθεν χάριν ἄφθονον, παρ' Αὐτοῦ Μῆτερ εἴληφας· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεὸν ὑπερφυῶς, σωματώσασα Κόρη, ἀνύψωσας ἡμῶν, τὴν πεσοῦσαν οὐσίαν· διὸ δοξολογοῦμέν Σε, ὡς αἰτίαν καὶ πρόξενον, ἀναπλάσεως, καὶ σωτηρίας Παρθένε, ὡς κυήσασαν, τὴν σωτηρίαν τοῦ κόσμου, Χριστὸν τὸν Θεὸν ἡμῶν.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Ἔργοις ἀσκήσεως, Ὁσία ἔλαμψας, ἐν ὑποκρίσεσι, μωρίας κρύπτουσα, τὸν θησαυρὸν τῆς σῆς ψυχῆς, ἐξ ὄψεως τῶν ἀνθρώπων· ὅθεν ὁ τὰ κρύφια, τῶν βροτῶν ἐπιστάμενος, Χριστὸς ὁ φιλάνθρωπος,

θαυμαστῶς σε ἐδόξασεν. Ὢ πρέσβευε δεόμεθα Ξένη, δοῦναι ἡμῖν πταισμάτων λύσιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ τῶν ἀχράντων Σου, αἱμάτων πάναγνε, δι' ἀγαθότητα, Θεὸς σεσάρκωται, καὶ τὴν ούσίαν τῶν βροτῶν, ἐθέωσεν ὡς οἱκτίρμων· ὅθεν δυσωποῦμέν Σε, ὡς Αὐτοῦ Μήτηρ πάναγνος, πρέσβευε δωρήσασθαι, τῶν πταισμάτων συγχώρησιν, τοῖς πόθῳ Σοι βοῶσι Παρθένε· χαῖρε ἡ κεχαριτωμένη.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄.*
*Κατεπλάγη Ἰωσήφ.*

Καταπλήττει ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, ἡ δοθεῖσά σοι σεμνή, χάρις πολλὴ παρὰ Θεοῦ, ἀντὶ τῶν πόνων καὶ τῶν θείων καμάτων σου· ἐντεῦθεν οἱ πιστοί, τῷ θείῳ τάφῳ σου, προστρέχοντες παθῶν, ταχεῖαν ἴασιν, καὶ συμφορῶν καὶ κινδύνων τὴν λύτρωσιν, Ξένη Ὁσία λαμβάνουσι, Χριστὸν ὑμνοῦντες, τὸν σὲ πλουσίως, θαυμαστώσαντα πάνσεμνε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε Μαριάμ, ἡ τῶν Ἀγγέλων βασιλίς, καὶ βροτῶν ἡ προσφυγή, καὶ σωτηρία ἀσφαλής, τῆς συνεχούσης με ἐμπαθείας λύτρωσαι. Γέλως γὰρ ἀεί, τῷ πλάνῳ πρόκειμαι, πράττων ἃ μισεῖ, Χριστὸς ὁ Κύριος, οὗ τῆς πικρᾶς τυραννίδος ἀπάλλαξον, τὴν ῥυπωθεῖσαν καρδίαν μου, καὶ μετανοίας φωτί με θείῳ, λάμπρυνον καὶ σῶσόν με.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, τῶν Δέκα Παρθένων.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς ἐν Χριστῷ ζωῆς τοὺς καρποὺς γεωργήσασα, ἐν πολλῇ φρονήσει, δι’ αὐτῶν ἐκτρέφεις, τὰς διανοίας τῶν πιστῶν, ἐν Ἁγίῳ Πνεύματι Ξένη θεόληπτε. Ξένων γὰρ χαρίτων παρὰ Χριστοῦ ἀξιωθεῖσα, ξενίζεις ἡμᾶς τῷ ξένῳ βίῳ σου, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς: *Τὴν θεόφρονα γεραίρω Ξένην. Γερασίμου.*

*Ὠδὴ α’. Ἦχος δ’. Ἀνοίξω τὸ στόμα μου.*

Τὴν χάριν τοῦ Πνεύματος, εἰσδεδεγμένην θεόπνευστε, τὸν νοῦν ἐκκαθάρασα, ἰλύος τῆς τῶν παθῶν, λόγου δίδου μοι, ἰσχὺν Ὁσία Ξένη, ὑμνῆσαι τοῦ βίου σου, τὰ κατορθώματα.

Ἡλίου λαμπρότερον, ἡμῖν ἐξέλαμψεν σήμερον, ἡ πάμφωτος μνήμη σου, Ξένη θεόληπτε, καὶ κατηύγασε, πιστῶν τὰς διανοίας, ἣν πόθῳ γεραίρομεν, Χριστὸν δοξάζοντες.

Νεκρώσασα φρόνημα, τὸ τῆς σαρκὸς θείαις πράξεσι, ζωὴν τὴν ἰσάγγελον, ἐν κόσμῳ ἔζησας, τὴν ἐπίπλαστον, μωρίαν ὑπελθοῦσα, δι᾽ ἧς ἀπεμώρανας, Ξένη τὸν δόλιον.

*Θεοτοκίον.*

Θεὸν μετὰ σώματος, προαγαγοῦσα δι᾽ ἔλεος, ἡμᾶς ἐκκαλούμενον, πρὸς τὴν ἀρχαίαν χαράν, Κόρη πάναγνε, καρδίας μου τὴν λύπην, διάλυσον δέομαι, ὡς χαροπάροχος.

*ᾨδὴ γ᾽. Τοὺς σοὺς ὑμνολόγους.*

Ἐτρώθης τῷ ἔρωτι τῷ θείῳ, ὡς ἤνεγκας Μῆτερ καρτερῶς, συζύγου σου τὴν στέρησιν, καὶ τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ὁσίως ἠκολούθησας, Ξένη μωραῖς προσποιήσεσιν.

Οὐδόλως ἐκάμφθης ἐν τῇ βίᾳ, τῆς φύσεως Ξένη ἀληθῶς, ἀλλ᾽ ἔστης ἀκατάβλητος, τῷ ἱερῷ ἀγῶνί σου, ὃν ἐν ὁδοῖς διήνυες, τῆς Πετρουπόλεως πάνσεμνε.

Φόβῳ θεϊκῷ στοιχειουμένη, διένειμας Μῆτερ εὐσεβῶς, τὸν πλοῦτόν σου τοῖς πένησι, τὸν πλοῦτον θησαυρίζουσα, τὸν ἀληθῆ καὶ κρείττονα, τῆς ἐν Χριστῷ τελειότητος.

*Θεοτοκίον.*

Ῥείθροις τοῦ ἐλέους Σου Παρθένε, ἀπόπλυνον ῥύπον τῶν παθῶν, τῶν τῆς ψυχῆς μου δέομαι, καὶ ῥῦσαί με πανάμωμε, τῆς ψυχοφθόρου ἕξεως, τῇ κραταιᾷ ἀντιλήψει Σου.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὴν σοφίαν τὴν θείαν ἔνδον κατέχουσα, ὑπεκρίνου μωρίαν Μῆτερ τῷ βίῳ σου, δι' ἧς ὤφθης ἐν παντὶ φρονίμη πάνσεμνε, καὶ οὐρανίων δωρεῶν, ἐπληρώθης ἀληθῶς, τῇ ἄνωθεν χορηγίᾳ, καὶ νῦν Ἀγγέλοις συνοῦσα, ὑπὲρ ἡμῶν Ξένη ἱκέτευε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀπειράνδρως τεκοῦσα τὸν πάντων Κύριον, ἀναλαβόντα Παρθένε ἡμῶν τὸ φύραμα, καὶ ἐκστάντα τῆς Αὐτοῦ φύσεως ἄχραντε, ἀνεκαίνισας ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς, τῷ τόκῳ Σου Θεοτόκε· διό Σε ὑμνολογοῦμεν, ὡς σωτηρίας ἡμῶν πρόξενον.

*Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.*

Ὁλοτρόπως ἀνετέθης τῷ Κυρίῳ πανεύφημε, καὶ πάντα ἀπώσω, γνώμῃ οὐρανόφρονι, καὶ ἐν ἀγῶσι καὶ πόνοις διετέλεσας, ὡς ἀσώματος, Ξένη τὸν βίον σου ἅπαντα.

Νοητῶς τῆς ἀφθαρσίας τὴν στολὴν ἐξυφαίνουσα, ῥάκεσι τὸ σῶμα, Μῆτερ εὐτελέσιν ἐκάλυπτες, καὶ τοῦ ἀσάρκου ἐχθροῦ κακίαν ἅπασαν, ἀπεγύμνωσας, συντονωτάτῃ ἀσκήσει σου.

Ἀφορήτῳ ἐν χειμῶνι ἐν τῇ θέρμῃ τοῦ Πνεύματος, ἤνεγκας ἀνδρείως, τὸν κρυμὸν σεμνὴ τὸν δριμύτατον, καὶ τῶν παθῶν τὸν χειμῶνα, Ξένη ἔλυσας, τῶν ὁρώντων σου, τὰ ὑπὲρ φύσιν παλαίσματα.

*Θεοτοκίον.*

Γεωργὸν ἀγεωργήτως τοῦ παντὸς γεωργήσασα, κεχαριτωμένη, ὅτι Σὲ ἡ ῥάβδος ἐδήλωσεν, ἡ ἀποτίστως ἀνθήσασα πανύμνητε, ἀποξήρανον, τὰ τῶν παθῶν μου βλαστήματα.

*ᾨδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.*

Ἐξίσταντο βλέποντες, ἐν γυναικείῳ σώματι, φέρουσαν τοὺς πόνους ἀνενδόως, τῶν εὐσεβούντων σε τάξεις πάνσεμνε, καὶ τὴν καρτερίαν σου σεμνή, τὴν πολλὴν ἐθαύμαζον, ἣν Χριστός σοι παρέσχετοι.

Ῥυσθεῖσα τοῦ σώματος, φροντίδων καὶ ἀνέσεων, ἐν ταλαιπωρίᾳ καὶ στενώσει, τῷ Ζωοδότῃ Χριστῷ ἐλάτρευσας· ὅθεν ὑπεδέξω παρ' Αὐτοῦ, χάριν τὰ ἐσόμενα, προορᾶν Ξένη πάνσεμνε,

Ἀγρύπνοις ἐν στάσεσι, καὶ τῶν γονάτων κλίσεσι, καὶ ταῖς παννυχίοις προσευχαῖς σου, ἱλεουμένη Χριστὸν τὸν Κύριον, ἔλαβες πλουσίως παρ' Αὐτοῦ, θεϊκὰ χαρίσματα, τοὺς πιστοὺς καταπλήττοντα.

*Θεοτοκίον.*

Ἰάτρευσον Δέσποινα, νοσοῦσαν τὴν καρδίαν μου, πάθεσι καὶ πταίσμασιν ἀμέτροις, καὶ ταύτην πλῆσον τοῦ θεϊκοῦ φωτισμοῦ, ὡς ἂν τοῦ ἐχθροῦ τὰς

προσβολάς, πάσας ἀποκρούσωμαι, καὶ σωθῶ τῇ Σῇ χάριτι.

*Ὠδὴ στ'. Τὴν θείαν ταύτην.*

Ῥωσίας ἄνθος τὸ εὔοσμον, καὶ πάσης Ἐκκλησίας τὸ καύχημα, ὕμνοις τιμήσωμεν, Ξένην τὴν θείαν καὶ πάνσεμνον, τὴν ἐν πλαστῇ μωρίᾳ, Χριστὸν δοξάσασαν.

Ὡς πλήρης θείας ἐλλάμψεως, τὰ μέλλοντα Ὁσία προέβλεπες, καὶ προεκήρυττες, συμβολικοῖς Μῆτερ λόγοις σου, τὰ πόῤῥω τοὺς ἀκούοντας καταπλήττουσα.

Ξενίζει πᾶσαν διάνοιαν, ὁ ξένος ἀληθῶς Μῆτερ βίος σου, καὶ τὰ θαυμάσια, ἃ ἐνεργοῦντα ἑκάστοτε, τῷ ἱερῷ σου τάφῳ Ξένη πανθαύμαστε.

*Θεοτοκίον.*

Ἐκ τῶν ἀχράντων λαγόνων  Σου, ὁ τῆς δικαιοσύνης ἀνέτειλεν, ἄδυτος Ἥλιος, σωματικῶς καὶ κατηύγασε, Παρθενομῆτορ κόσμου τὰ πέρατα.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τὸν σὸν πλοῦτον νείμασα, τοῖς ἐνδεέσι, τὴν πτωχείαν ἔστερξας, ἔρωτι θείῳ τοῦ Χριστοῦ, καὶ ἰσαγγέλως βιώσασα, Ξένης τῆς ἄνω εὐκλείας ἠξίωσαι.

*Ὁ Οἶκος.*

Ἀρνησαμένη σεαυτήν, ἀπεριτρέπτῳ γνώμῃ, καὶ ἀραμένη τὸν ζυγὸν ἐπ' ὤμων τοῦ Σωτῆρος,

εὐαγγελικῶς ἀπώσω τὰ ἐν κόσμῳ καὶ ἀσκητικῶς ἀκολουθῆσαι, διέγνως τοῖς ἴχνεσιν Αὐτοῦ Ὁσία. Τὸν γὰρ σύζυγον τέλει βίου ἀπολαβοῦσα, πάντα σκύβαλα ἡγήσω, θεολήπτῳ ψυχῇ, καὶ ὅλον τὸν πόθον ἀνέτεινας τῷ Κυρίῳ, τὰ ἄνω ζητοῦσα καὶ ποθοῦσα Μῆτερ. Καὶ ξένον βίον ὑπελθοῦσα, μωρίαν ἐπίπλαστον ἐνδυσαμένη, ξενοτρόπως Χριστὸν ἐδόξασας, καὶ χαρισμάτων παρ’ Αὐτοῦ τὴν δωρεὰν ἔλαβες. Θαύματα γὰρ πηγάζεις, καὶ προφθάνεις τοὺς καλοῦντάς σε· ὅτι Ξένη, τῆς ἄνω εὐκλείας ἠξίωσαι.

*Συναξάριον.*

*Τῇ ΚΔ´ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ὁσίας Ξένης τῆς Ῥωσσίδος, τῆς διὰ Χριστὸν σαλῆς.*

*Ξένον βίον ζήσασα ἐν κόσμῳ Ξένη,*
*ξένων δωρεῶν παρα Θεοῦ μετέσχες.*
*Ξενότροπον ξενίην δέχοιο παρ’ ἡμῶν ὦ Ξένη.*

*Ὠδὴ ζ’. Οὐκ ἐλάτρευσαν.*

Νοῦν ἀλάστορα εἰς τέλος ἐταπείνωσας τῇ ταπεινώσει σου, διὰ Χριστὸν τὸν Θεόν· διὸ ὑπερύψωσαι, Ξένη κραυγάζουσα· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἡ τοῦ βίου σου λαμπρότης Ξένη πάνσεμνε ἣν μόνοι ἔβλεπον, οἱ καθαροὶ τῇ ψυχῇ, τὴν σὴν προϋπέφαινεν, δόξαν οὐράνιον, ἧς μετέσχηκας,

τελέσασα τὸν δρόμον σου, τὸν Χριστὸν δοξολογοῦσα.

Νοῦν θεόφρονα καὶ πλήρη θείας χάριτος πλουτοῦσα ἔνδοξε, μωρίαν πλασματικήν, μετήρχου μωραίνουσα, τὸν παναλάστορα, Χριστῷ ψάλλουσα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γῆ ἀνήροτος ἐδείχθης Μητροπάρθενε ὡς προεκήρυξαν, Προφῆται οἱ τοῦ Θεοῦ, ἀσπόρως γὰρ ἔτεκες, Χριστὸν τὸν Κύριον, Ὃν δυσώπησον, Παρθένε ἱκετεύω Σε, οἰκτειρῆσαι τὴν ψυχήν μου.

## *Ὠδὴ η’. Παῖδας εὐαγεῖς*

Ἔχει ἡ πληθὺς τῶν εὐσεβούντων, τὸν τάφον σου ἰατρεῖον ὡς ἀδάπανον, Ξένη παναοίδιμε, Ὀρθοδόξων καύχημα, ᾧ πίστει προσερχόμενοι, ἀεὶ λαμβάνομεν, τὰς δόσεις, τὰς ἁγίας Ὁσία, καὶ τὴν θεραπείαν, ψυχῶν τε καὶ σωμάτων.

Ῥώμῃ θεϊκῇ δυναμουμένη, τῆς φύσεως τοὺς θεσμοὺς Μῆτερ ἐκβέβηκας· ἔνθεν ὡς ἀσώματος, ἤνυσας τὸ στάδιον, τὸ μέγα τῆς ἀσκήσεως, Ξένη κραυγάζουσα· Τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄνωθεν μὴ παύσῃ ἐφορῶσα, Ὁσία καὶ ἐποπτεύουσα ἑκάστοτε, τοὺς πανηγυρίζοντας, τὴν ἁγίαν μνήμην σου, καὶ τοῖς πιστῶς κραυγάζουσι, χάριν παρέχουσα· Τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Σύντριψον ἐχθροῦ τὴν δυναστείαν, Παρθένε δι᾽ ἧς πειρᾶται ἀπολέσαι με, καὶ τὴν ἀνειμένην μου, πάθεσι καὶ θλίψεσι, καρδίαν ἐνδυνάμωσον, ψάλλειν ἑκάστοτε· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ δοξολογεῖτε, τὴν μόνην Θεοτόκον.

*ᾨδὴ θ᾽. Ἅπας γηγενής.*

Ἴθυνας σεμνή, τὰ σὰ διαβήματα πρὸς τὴν ἐκπλήρωσιν, τοῦ θείου θελήματος, πᾶσαν λιποῦσα φροντίδα πρόσκαιρον, καὶ τῷ Χριστῷ δουλεύσασα ψυχῆς θερμότητι, ἐπαξίως, οὐρανίως ἔτυχες, φερωνύμως ξενίας θεόπνευστε.

Μόνον τοῦ Χριστοῦ, τὸ κάλλος ποθήσασα κάλλη τὰ πρόσκαιρα, ὁλοψύχως ἔλιπες, Ξένη Ὁσία ἀειμακάριστε, καὶ βίον καθαρώτατον ἀμέμπτως ἔζησας· διὰ τοῦτο, πρὸς τὰ ὑπερκόσμια, μεταβέβηκας κάλλη καὶ ἄῤῥητα.

Ὄμβροις μυστικοῖς, τῶν σῶν παρακλήσεων Ξένη κατάσβεσον, τῶν παθῶν τὴν κάμινον, τὴν ταπεινήν μου ψυχὴν φλογίζουσαν, καὶ ὡς τερπνὸν θυμίαμα, τοῦτον τὸν ὕμνον μου, δεχομένη, αἴτει μοι τὴν ἄφεσιν, ἐκ Θεοῦ τῶν ἀπείρων πταισμάτων μου.

*Θεοτοκίον.*

Ὕψιστον Θεόν, γενόμενον ἄνθρωπον ἐκ τῶν αἱμάτων Σου, τέξασα πανάμωμε, ἡμῶν ὑψοῦντα φύσιν τὴν ἔκπτωτον, ἀνύψωσόν με δέομαι, ἐκ

κατωτάτου βυθοῦ ἁμαρτίας, καὶ ἐν πέτρᾳ, στῆσον με μετανοίας γνησίας καὶ σῶσόν με.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Μωρίαν τὴν ἐπίπλαστον, ὑπελθοῦσα Ὁσία, τὴν σὴν ψυχὴν ἀθόλωτον, διετήρησας Μῆτερ, ἐκ γεηρῶν φρονημάτων, καὶ ἀξίως ἐδέξω, παρὰ Χριστοῦ τὸν στέφανον, τῶν πολλῶν σου καμάτων ἐν οὐρανοῖς, καὶ θαυμάτων χάριν πλουσιωτάτην, Ξένη θεομακάριστε, Ὀρθοδόξων λαμπρότης.

*Θεοτοκίον.*

Ἀνερμηνεύτως τέτοκας, τὸν Θεὸν τῶν ἁπάντων, καὶ μετὰ τόκον ἔμεινας, ὥσπερ ᾗς πρὸ τοῦ τόκου, πανάχραντε Θεοτόκε, τῶν Ἀγγέλων τὸ θαῦμα, καὶ τῶν βροτῶν διάσωσμα· διὰ τοῦτο ὑμνοῦμεν πανευλαβῶς, τῆς κυοφορίας Σου τῆς ἀφράστου, τὸ ὑπὲρ νοῦν μυστήριον, δι᾽ οὗ σέσωσται κόσμος.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τὸ πῦρ τῆς θείας ἀγάπης ἐν τῇ καρδίᾳ σου, εἰσδεξαμένη Μῆτερ, ξένη ὤφθης ἐν κόσμῳ, καὶ βίον ὑπελθοῦσα ἀσκητικόν, ἐν μωραῖς προσποιήσεσι, Ξένη ἐδέξω ἀξίως παρὰ Χριστοῦ, τῶν καμάτων σου τὰ ἔπαθαλα.

Τῆς ἐν σαρκὶ πολιτείας σου Ξένη πάνσεμνε, ξενίζουσι τὰς φρένας, τῶν πιστῶν οἱ ἀγῶνες, ὡς ἄσαρκος γὰρ ἔζησας ἐπὶ γῆς, ἐν νηστείαις καὶ

δάκρυσι, καὶ ἐπιπλάστῳ μωρίᾳ τὸν σοφιστήν, τῆς κακίας καταβέβληκας.

Ἐν ταπεινώσει καρδίας σεμνὴ ἀνύσασα, τοὺς σοὺς στεῤῥοὺς ἀγῶνας, τὴν τοῦ Πνεύματος χάριν, ἐδέξω οὐρανόθεν· ὅθεν σαφῶς, προαγγέλλεις τὰ μέλλοντα, αἰνιγματώδεσι λόγοις καὶ προορᾷς, ὡς ἐγγὺς τὰ πόῤῥω ἔνδοξε.

Τοῦ Παρακλήτου ἡ χάρις ἐπισκιάσασα, τῷ τάφῳ σου Ὁσία, τοῦτον ἔδειξε πᾶσιν, ἰάσεων ἀκένωτον θησαυρόν, τοῖς ἐν πίστει προστρέχουσι· διὸ κηρύττομεν πάντες Ξένη σεμνή, τῶν θαυμάτων σου τὰς χάριτας.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὁσία Μῆτερ, τὴν σὴν ἁγίαν ζωήν, θαυμαστῶς ἐδόξασεν, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος Θεός, ὁ κατ᾽ ἀξίαν νέμων τὰ ἔπαθλα· ἐν γὰρ ἀγῶσιν ἀήττητόν σε ἔδειξε, καὶ μετὰ τέλος τὸ ἅγιον, ἰατρεῖον ἄμισθον, τὸν τάφον σου εἰργάσατο, οἱ γὰρ ἐν τούτῳ προσιόντες, θᾶττον κομίζονται τὰ αἰτήματα, τῇ σῇ μεσιτείᾳ. Ἀλλ᾽ ὦ Ξένη θεόφρον, τῇ παναγίᾳ Τριάδι πρέσβευε, τὸ θεῖον ἡμῖν διδόναι ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν

πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Ἔξηχον διήνυσας βιοτήν, ἐν σκληραγωγίᾳ, καὶ ἀσκήσει θεοφιλεῖ· ὅθεν οὐρανίου, ξενίας ἠξιώθης, ὦ Ξένη μακαρία, Χριστὸν δοξάσασα.